βίας ἐπὶ τὸ κατακρημνίσαι αὐτόν. ὁ δὲ αἴσωπος παρε-
κάλει αὐτοὺς ἐπὶ τὸ ἀκοῦσαι αὐτοῦ. ἐπιστρεψάντων δὲ αὐ-
τῶν, ἔφη, ὅτε ἦν ὁμόφωνα τὰ ζῶα, μῦς βάτραχον
φιλήσας ἐκάλεσεν αὐτὸν εἰς δεῖπνον, καὶ ἀπήγαγεν αὐ-
τὸν εἰς ταμιεῖον πλουσίου ὅπου ἦν ἄρτος, τυρὸς, μέλι, ἰ-
σχάδες, καὶ ὅσα ἀγαθὰ, καὶ φησὶν, ἔσθιε βάτραχε, ἐξ
ὧν βούλει. μετὰ δὲ τὸ εὐφρανθῆναι αὐτοὺς, ἔφη ὁ βά-
τραχος πρὸς τὸν μῦν, ἐλθὲ καὶ σὺ πρός με νῦν, πλή-
σθητι τῶν ἀγαθῶν μου, ἀλλ' ἵνα μὴ ὄκνος σοι γένηται,
προσαρτήσω τὸν πόδα σου τῷ ποδί μου. δήσας οὖν τὸν
πόδα τοῦ μυὸς τῷ αὐτοῦ ποδὶ, ἥλατο εἰς τὴν λίμνην.
ἕλκων καὶ τὸν μῦν δέσμιον. ὁ δὲ πνιγόμενος ἔλε-
γεν, ἐγὼ μὲν ὑπὸ σοῦ νεκρωθήσομαι, ἐκδικηθήσομαι
ὑπὸ ζώντων. ἴκτης δὲ θεασάμενος, ὅ ἐστι λύπης, τὸν

http://digital.slub-dresden.de/ppn346259193/113